Γέννησις

Βηθλεέμ — Μιχαίας 752 π.Χ.

Οὐ μόνον τὸ γένος, ἡ φυλή, ἡ οἰκογένεια ἀλλ' ἡ πόλις καὶ τὸ χωρίδιον

«Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὴ εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος»

(Μιχαία ε' 2).

Γέννησις

Δύο ζώα

Αββακούμ

600 π.Χ.

«ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ».

(Αββακούμ γ΄ 2.

Γέννησις
Βούς και όνος

Ησαΐας
752 π.Χ

«Έγνω βούς τον κτησάμενον, και όνος την φάτνην του κυρίου αυτού· Ισραήλ δε με <u>ουκ έγνω</u>, και ο λαός με ου συνήκεν».

(Ησαΐου α΄ 3).

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΡΑΚΗ

Δῶρα τῶν Μάγων

Δαβίδ
1085 π.Χ.

« Ἐνώπιον αὐτοῦ προσπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι· καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς, πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ »

(Ψαλ. οα΄: 9-12).

Ὁ Υἱός σου σημεῖον
ἀντιλεγόμενον.

Συμεών
(Εὐαγγελιστὴς Λουκᾶς).

„Νῦν ἀπολύεις ...“

Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον.
(Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·) ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

(Λουκᾶ β΄. 34)

Ἀλλά καγώ Ἄννα
εἶπον ὅτι αὐτὸς τὴν λύτρωσιν ἐν τῷ
Ἰσραήλ.

Βάπτισις
Ιορδάνης

Δαβίδ
1085 π.Χ.

«Η θάλασσα είδε και έφυγεν, ο Ιορδάνης εστράφη
εις τα οπίσω· τα όρη εσκίρτησαν ωσεί κριοί, και οι βου-
νοί ωσεί αρνία προβάτων. Τι σοι εστί θάλασσα ότι έφυγες,
και σοι Ιορδάνη ότι εστράφης εις τα οπίσω. Τα όρη ότι
εσκιρτήσατε ωσεί κριοί, και οι βουνοί ως αρνία προβά-
των; Από προσώπου Κυρίου εσαλεύθη η γη, από προσώ-
που του Θεού Ιακώβ.»

(Ψαλμ. ριγ. 3-8)

14-15

Ὁ Ἰησοῦς ἐφώτισε τὸν κόσμον

Ἡσαΐας
752 π.Χ.

Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν.
Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.

(Ἡσαΐα Θ. 1.

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

Μιχαλείτσι.

Χαρακτήρ του Μεσσίου — Δαβίδ

Ωραίος κάλλει. — 1085 π.Χ.

Ωραίος κάλλει παρά τους υιούς των ανθρώπων, εξεχύθη χάρις εν χείλεσί σου· διά τούτο ευλόγησέ σε ο Θεός εις τον αιώνα. Περίζωσαι την ρομφαίαν σου επί τον μηρόν σου, δυνατέ τη ωραιότητί σου και τω κάλλει σου. Και έντεινον, (και) κατευοδού, και βασίλευε ένεκεν αληθείας και πραότητος και δικαιοσύνης· και οδηγήσει σε θαυμαστώς η δεξιά σου. [Τα βέλη σου ηκονημένα, (δυνατέ)· λαοί υποκάτω σου πεσούνται εν καρδία των εχθρών του βασιλέως·] Ο θρόνος σου ο Θεός εις τον αιώνα του αιώνος· ράβδος ευθύτητος η ράβδος της βασιλείας σου. Ηγάπησας δικαιοσύνην, και εμίσησας αδικίαν· διά τούτο έχρισέ σε ο Θεός ο Θεός σου έλαιον αγαλλιάσεως παρά τους μετόχους σου. Σμύρνα και στακτή και κασία από των ιματίων σου, από βάρεων ελεφαντίνων, εξ ών ηύφρανάν σε.

(Ψαλμ. μδ΄ 3.7.8).

Ἁγιότης

Ἡσαΐας
752 π.Χ.

Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ἐν δικαιοσύνῃ ταπεινῷ κρίσιν· καὶ ἐλέγξει ἐν εὐθύτητι τοὺς ταπεινοὺς τῆς γῆς· καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ· καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ.

(Ἡσαΐου ια΄ 1-3-10).

Μεγαλεῖον

Δαβίδ
1085 π.Χ

«Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός· φείσεται πτωχοῦ καὶ πένητος καὶ ψυχὰς πενήτων σώσει. . . . . . . ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. . . .

. . . . . . Ἔστω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν»

(Ψαλμ. οα΄ 12-17).

Βαϊοφόρος

Ζαχαρία
520 π.Χ

«Χαίρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ιερουσαλήμ· ιδού ο βασιλεύς σου έρχεταί σοι δίκαιος καί σώζων αυτός πραΰς καί επιβεβηκώς επί υποζύγιον καί πώλον νέον»

(Ζαχαρίου θ΄ 9).

Ὡσαννά

Δαβίδ
1085 π.Χ.

«Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν» (

(Ψαλ. η' 3)

Διακοπή

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

21

Πάθη κατ᾽ ἔκτασιν

(Ἠσαΐα
752. π.Χ.

καὶ ἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας ἀνθρώπους· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ ὑπὸ θεοῦ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.

(Ἠσαΐου νγ΄ 3-8

Πάθος. Ἱερεμίας.

Ἀρνίον ἄκακον. 629. π. Χ.

Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων· ὅτι ἐπ' ἐμὲ ἐλογίσαντο λογισμόν πονηρόν, κατά σοῦ λέγοντες· δεῦτε καί ἐμβάλωμεν ξύλον εἰς τόν ἄρτον τράχηλον αὐτοῦ, καί ἐκτρίψωμεν αὐτόν ἀπό γῆς ζώντων, καί ὄνομα αὐτοῦ οὐ μή μνησθῇ ἔτι.

(Ἱερ. ια'. 19.

Αναμάρτητος.

Ησαΐας.

752 π.Χ.

Ιδιότης του Κυρίου

«Ότι Ανομίαν ουκ εποίησεν ουδέ ευρέθη δόλος εν τω στόματι αυτού» (Ησαΐα νγ. 9.

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

2V

Πάθη

Συμβούλιον κατά τοῦ Χριστοῦ

Δαβίδ

1085 π.Χ.

Ἵνα τί ἐφρύαξαν ἔθνη καί λαοί ἐμελέτησαν κενά;
Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καί οἱ ἄρχοντες συνήχ-
θησαν ἐπί τό αὐτό. κατά τοῦ Κυρίου καί κατά τοῦ
Χριστοῦ αὐτοῦ.

(Ψαλμ. β΄ 1-2)

Πάθη

30 ἀργύρια.

Ζαχαρία

520 π.Χ.

«Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς.»

(Ζαχαρία ΙΑ. 12.)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

Πάθη
Προδοσία

Δαβίδ
1085 π.Χ.

ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμέ πτερνισμόν.

(Ψαλμ. μ΄ 9)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

Πάθη
ψευδομαρτυρία

Δαβίδ
1085 π.Χ.

Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον, ἠρώτων με· ἀνταποδεδώκασί μοι πονηρά ἀντί ἀγαθῶν.

(Ψαλμ. λδ΄ 11).

**Πάθη.** Ησαΐας

Τον νώτον μου έδωκα 752 π.Χ

μάστιγες και ραπίσματα

Τον νώτον μου έδωκα εις μάστιγας, τάς δε σιαγόνας μου εις ραπίσματα, το δε πρόσωπόν μου ουκ απέστρεψα από αισχύνης εμπτυσμάτων.

(Ησαΐου ν΄ 6)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

πάθη

μάστιγες

Δαβίδ

1085 π.Χ. Στρ. 6

ότι εγώ εις μάστιγας έτοιμος και η αλγηδών μου ενώπιόν μου εστί διαπαντός.

(Ψαλμ. λζ΄ 18)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

Πάθη

Διεμερίσαντο

Δαβίδ

1085 π.Χ.

«Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καί ἐπί τόν ἱματισμόν μου ἔβαλον κλῆρον»

(Ψαλμ. κα. 19)

Πάθος

ὤρυξαν χεῖράς μου.

Δαβίδ

1085 π.Χ.

« Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγή πονηρευομένων περιέσχον με· ὤρυξαν χεῖράς μου καί πόδας μου· ἐξηρίθμησα πάντα τά ὀστᾶ μου »

(Ψαλμ. κα. 17

Πάθος.
Μεταξύ δύο ληστών

Ησαΐας
752. π.Χ.

«Καί ἐν τοῖς ἀνόμοις ἐλογίσθη».

(Ησαΐα νγ΄ 12)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΡΑΚΗ

Πάθη

Χολή καί όξος

Δαβίδ

1085. π.Χ.

„Καί έδωκαν είς τό βρώμα μου χολήν καί είς τήν δίψαν μου επότισάν με όξος„

(Ψαλμ. ξη'. 22.)

Πάθος — Δαβίδ

Ἠλὶ Ἠλί — 1085 π.Χ.

«Ὁ Θεός ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με· μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Ὁ Θεός μου κεκράξομαι ἡμέρας πρός σε, καὶ οὐκ εἰσακούσῃ» ~~καὶ νυκτός καὶ οὐ~~

(Ψαλμ. κα΄ 1-3)

Πάθη.　　　　　　　　　　　　　　Δαβίδ

εἰς χεῖρας σου παραθήσομαι　　　　1085 π.Χ.
το πνεῦμα μου

«Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι· ὅτι σύ εἶ ὁ ὑπερασπιστής μου, Κύριε. Εἰς χεῖρας σου παραθήσομαι τό πνεῦμα μου» (Ψαλμ. ~~[illegible]~~ λ. 5-6)

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ